137. THE RICH YOUNG MAN (Matt-Lk Identicals)

| Matt 19:16-30 | Luke 18:18-30 |
|---|---|
| *19·16 Καὶ* | *19·18 Καὶ* |
| *ἰδοὺ εἷς προσελθὼν αὐτῷ* | *ἐπηρώτησέν τις αὐτὸν ἄρχων* |
| | *λέγων,* |
| *εἶπεν,* | |
| *Διδάσκαλε, τί ἀγαθὸν ποιήσω* | *Διδάσκαλε ἀγαθέ, τί ποιήσας* |
| *ἵνα σχῶ ζωὴν αἰώνιον* | *ζωὴν αἰώνιον κληρονομήσω* |
| *19·17 ὁ δὲ εἶπεν αὐτῷ,* | *18·19 εἶπεν δὲ αὐτῷ ὁ Ἰησοῦς,* |
| *Τί με ἐρωτᾷς περὶ τοῦ ἀγαθοῦ* | *Τί με λέγεις ἀγαθόν* |
| *εἷς ἐστιν ὁ ἀγαθός.* | *οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ θεός.* |
| *εἰ δὲ θέλεις εἰς τὴν ζωὴν εἰσελθεῖν,* | |
| *τήρησον τὰς ἐντολάς.* | *20 τὰς ἐντολὰς οἶδας·* |
| *19·18 λέγει αὐτῷ, Ποίας* | |
| *ὁ δὲ Ἰησοῦς εἶπεν,* | |
| *Τὸ Οὐ φονεύσεις,* | |
| *Οὐ μοιχεύσεις,* | *Μὴ μοιχεύσῃς,*<br>*Μὴ φονεύσῃς,* |
| *Οὐ κλέψεις,* | *Μὴ κλέψῃς,* |
| *Οὐ ψευδομαρτυρήσεις,* | *Μὴ ψευδομαρτυρήσῃς,* |
| *19 Τίμα τὸν πατέρα καὶ* | *Τίμα τὸν πατέρα σου καὶ* |
| *τὴν μητέρα,* | *τὴν μητέρα.* |
| *καί, Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν.* | |
| *19·20 λέγει αὐτῷ ὁ νεανίσκος,* | *18·21 ὁ δὲ εἶπεν,* |
| *Πάντα ταῦτα ἐφύλαξα·* | *Ταῦτα πάντα ἐφύλαξα*<br>*ἐκ νεότητος.* |
| *τί ἔτι ὑστερῶ* | |
| *19·21 ἔφη αὐτῷ ὁ Ἰησοῦς,* | *18·22 ἀκούσας δὲ ὁ Ἰησοῦς εἶπεν αὐτῷ,* |
| *Εἰ θέλεις τέλειος εἶναι,* | *Ἔτι ἕν σοι λείπει·* |
| *ὕπαγε πώλησόν σου τὰ ὑπάρχοντα* | *πάντα ὅσα ἔχεις πώλησον* |
| *καὶ δὸς τοῖς πτωχοῖς,* | *διάδος πτωχοῖς,* |
| *καὶ ἕξεις θησαυρὸν* | *καὶ ἕξεις θησαυρὸν* |
| *ἐν οὐρανοῖς,* | *ἐν τοῖς οὐρανοῖς,* |
| *καὶ δεῦρο ἀκολούθει μοι.* | *καὶ δεῦρο ἀκολούθει μοι.* |
| *19·22 ἀκούσας δὲ ὁ νεανίσκος* | *18·23 ὁ δὲ ἀκούσας* |
| *τὸν λόγον* | *ταῦτα* |
| *ἀπῆλθεν λυπούμενος,* | *περίλυπος ἐγενήθη,* |

| Matt 19:16-30 | Luke 18:18-30 |
|---|---|
| ἦν γὰρ ἔχων κτήματα πολλά. | ἦν γὰρ πλούσιος σφόδρα.<br>24 Ἰδὼν δὲ αὐτὸν |
| 19·23 Ὁ δὲ Ἰησοῦς εἶπεν | ὁ Ἰησοῦς περίλυπον γενόμενον εἶπεν, |
| τοῖς μαθηταῖς αὐτοῦ, | |
| Ἀμὴν λέγω ὑμῖν ὅτι πλούσιος | |
| δυσκόλως | Πῶς δυσκόλως<br>οἱ τὰ χρήματα ἔχοντες |
| εἰσελεύσεται | |
| εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. | εἰς τὴν βασιλείαν τοῦ θεοῦ<br>εἰσπορεύονται· |
| 24 πάλιν δὲ λέγω ὑμῖν, | |
| εὐκοπώτερόν ἐστιν | 25 εὐκοπώτερον γάρ ἐστιν |
| κάμηλον διὰ τρυπήματος | κάμηλον διὰ τρήματος |
| ῥαφίδος διελθεῖν | βελόνης εἰσελθεῖν |
| ἢ πλούσιον εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ. | ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελθεῖν. |
| 19·25 ἀκούσαντες δὲ οἱ μαθηταὶ | |
| ἐξεπλήσσοντο σφόδρα | |
| λέγοντες, | 18·26 εἶπαν δὲ οἱ ἀκούσαντες, |
| Τίς ἄρα δύναται σωθῆναὶ<br>19·26 ἐμβλέψας δὲ | Καὶ τίς δύναται σωθῆναὶ |
| ὁ Ἰησοῦς εἶπεν αὐτοῖς, | 18·27 ὁ δὲ εἶπεν, |
| Παρὰ ἀνθρώποις τοῦτο ἀδύνατόν | Τὰ ἀδύνατα παρὰ ἀνθρώποις |
| ἐστιν, | |
| παρὰ δὲ θεῷ πάντα δυνατά. | δυνατὰ παρὰ τῷ θεῷ ἐστιν. |
| 19·27 Τότε ἀποκριθεὶς ὁ Πέτρος εἶπεν αὐτῷ, | 18·28 Εἶπεν δὲ ὁ Πέτρος, |
| Ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα | Ἰδοὺ ἡμεῖς ἀφέντες τὰ ἴδια |
| καὶ ἠκολουθήσαμέν σοι· | ἠκολουθήσαμέν σοι. |
| τί ἄρα ἔσται ἡμῖν | |
| 19·28 ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, ʼ | 18·29 ὁ δὲ εἶπεν αὐτοῖς, |
| Ἀμὴν λέγω ὑμῖν ὅτι ὑμεῖς οἱ ἀκολουθήσαντές μοι, ἐν τῇ παλιγγενεσίᾳ, ὅταν καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, | Ἀμὴν λέγω ὑμῖν ὅτι |
| καθήσεσθε καὶ ὑμεῖς | |
| ἐπὶ δώδεκα θρόνους | |
| κρίνοντες τὰς δώδεκα φυλὰς | |
| τοῦ Ἰσραήλ. | |
| 29 καὶ πᾶς ὅστις ἀφῆκεν | οὐδείς ἐστιν ὃς ἀφῆκεν |

| Matt 19:16-30 | Luke 18:18-30 |
| --- | --- |
| *οἰκίας* | *οἰκίαν* |
| *ἢ ἀδελφοὺς ἢ ἀδελφὰς* | *ἢ γυναῖκα ἢ ἀδελφοὺς* |
| *ἢ πατέρα ἢ μητέρα ἢ τέκνα* | *ἢ γονεῖς ἢ τέκνα* |
| *ἢ ἀγροὺς* | |
| *ἕνεκεν τοῦ ὀνόματός μου* | *ἕνεκεν*<br>*τῆς βασιλείας τοῦ θεοῦ,*<br>*30 ὃς οὐχὶ μὴ ἀπολάβῃ* |
| *ἑκατονταπλασίονα λήμψεται* | *πολλαπλασίονα*<br>*ἐν τῷ καιρῷ τούτῳ* |
| *καὶ* | *καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ* |
| *ζωὴν αἰώνιον κληρονομήσει.* | *ζωὴν αἰώνιον.* |
| *30 Πολλοὶ δὲ ἔσονται πρῶτοι ἔσχατοι* | |
| *καὶ ἔσχατοι πρῶτοι.* | |

471 total words with 178 identicals = 38%